A antoloxía contén 24 textos, 12 de Xenofonte e 12 de Apolodoro, extraídos das dúas antoloxías utilizadas en cursos anteriores. Os textos van con notas aclaratorias, que tamén aparecerán no exame.

SELECTA DE TEXTOS DE XENOFONTE
PAU 2027

1. ASCENDENCIA DE CIRO E MORTE DE DARÍO. *Anábase* 1.1.1

Δαρείου καὶ **Παρυσάτιδος** γίγνονται παῖδες δύο, πρεσβύτερος μὲν **Ἀρταξέρξης**, νεώτερος δὲ **Κῦρος**· ἐπεὶ δὲ **ἠσθένει** Δαρεῖος καὶ ὑπώπτευε τελευτὴν τοῦ βίου, ἐβούλετο **τὼ παῖδε ἀμφοτέρω** παρεῖναι. Ὁ μὲν οὖν πρεσβύτερος **παρὼν ἐτύγχανε**. Κῦρον δὲ μεταπέμπεται **ἀπὸ τῆς ἀρχῆς** ἧς αὐτὸν σατράπην ἐποίησε, καὶ στρατηγὸν δὲ αὐτὸν **ἀπέδειξε** πάντων ὅσοι **ἐς Καστωλοῦ** πεδίον ἀθροίζονται. ἀναβαίνει οὖν ὁ Κῦρος **λαβὼν Τισσαφέρνην** ὡς φίλον.

NOTAS:
Δαρεῖος, -ου ὁ: Darío (*aquí Darío II, gran rei persa do s. V a. C.*)
Παρύσατις, -ιδος ἡ: Parisátide (*esposa de Darío II, nai de Ciro e Artaxerxes*)
Ἀρταξέρξης, -ου ὁ: Artaxerxes (*aquí Artaxerxes II, rei persa 404-361 a. C.*)
Κῦρος, -ου ὁ: Ciro (*Ciro o Novo, príncipe persa*)
ἠσθένει: *de* ἀσθενέω
τὼ παῖδε ἀμφότερω: *nom. e ac. de dual*
παρὼν ἐτύγχανε: *ver* τυγχάνω *acompañado de participio*. πάρων *de* παρ-είμι 2: "estaba por casualidade".
ἀπὸ τῆς ἀρχῆς: ἀρχή *con significado de* "provincia"
ἀπέδειξε: *aor. ind. act.* ἀπο-δείκνυμι, "designar, nomear"
ἐς = εἰς
Καστωλός, -ου ὁ: Castolo (*río cercano a Sardes*)
λαβὼν: *part. aor. de* λαμβάνω
Τισσαφέρνης, -ου ὁ: Tisafernes *(sátrapa persa)*

2. CAUSAS DA REBELIÓN DE CIRO. *Anábase* 1.1.3

Ἐπεὶ δὲ ἐτελεύτησε Δαρεῖος καὶ **κατέστη** εἰς τὴν βασιλείαν **Ἀρταξέρξης**, **Τισσαφέρνης διαβάλλει** τὸν **Κῦρον** πρὸς τὸν ἀδελφὸν ὡς **ἐπιβουλεύοι** αὐτῷ. ὁ δὲ πείθεται καὶ συλλαμβάνει Κῦρον **ὡς ἀποκτενῶν**· ἡ δὲ μήτηρ

ἐξαιτησαμένη αὐτὸν ἀποπέμπει πάλιν **ἐπὶ τὴν ἀρχήν**. Ὁ δ᾽ ὡς **ἀπῆλθε** κινδυνεύσας καὶ **ἀτιμασθείς**, βουλεύεται ὅπως μήποτε ἔτι ἔσται **ἐπὶ τῷ ἀδελφῷ**, ἀλλά, **ἢν δύνηται**, βασιλεύσει ἀντ᾽ ἐκείνου. **Παρύσατις** μὲν δὴ ἡ μήτηρ **ὑπῆρχε** τῷ Κύρῳ, φιλοῦσα αὐτὸν μᾶλλον ἢ τὸν βασιλεύοντα **Ἀρταξέρξην**.

NOTAS:
κατέστη: *aor. de ind. act. de* καθ-ίστημι
Ἀρταξέρξης, -ου ὁ: Artaxerxes (*aquí Artaxerxes II, rei persa 404-361 a. C.*)
Τισσαφέρνης, -ου ὁ: Tisafernes *(sátrapa persa)*
διαβάλλει: "acusar a alguén (ac.) de algo (or. de ὡς)"
Κῦρος, -ου ὁ: Ciro
ἐπιβουλεύοι: *opt. oblicuo, traducir por imperfecto*
ὡς ἀποκτενῶν: ἀποκτενῶν *part. de fut*. de ἀπο-κτείνω, *con valor final pola conxunción* ὡς.
ἐπὶ τὴν ἀρχήν: ἀρχή *con significado de* "provincia"
ἀπῆλθε: *de* ἀπ-έρχομαι
ἀτιμασθείς: *part. de aor. pas. nom. sing. de* ἀτιμάζω
ἐπὶ τῷ ἀδελφῷ: "baixo o seu irmán"
ἢν δύνηται: *condicional, introducida por* ἤν < *ἐάν, con verbo en subxuntivo*: se puidese.
Παρύσατις, -ιδος ἡ: Parisátide (*esposa de Darío II, nai de Ciro e Artaxerxes*)
ὑπῆρχε: *de* ὑπ-άρχω, *aquí con dat.* "estar a favor, apoiar".

3. DESCRICIÓN DO PALACIO REAL DE CIRO EN CELENAS. *Anábase* 1.2.7

Ἐντεῦθεν **ἐξελαύνει** σταθμοὺς τρεῖς παρασάγγας εἴκοσιν εἰς **Κελαινάς**, τῆς **Φρυγίας** πόλιν οἰκουμένην, μεγάλην καὶ εὐδαίμονα. ἐνταῦθα **Κύρῳ βασίλεια** ἦν καὶ παράδεισος μέγας, ἀγρίων θηρίων πλήρης, ἃ ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππου, **ὁπότε** γυμνάσαι **βούλοιτο** ἑαυτόν τε καὶ τοὺς ἵππους. Διὰ μέσου δὲ τοῦ παραδείσου ῥεῖ ὁ **Μαίανδρος** ποταμός. αἱ δὲ πηγαὶ αὐτοῦ εἰσιν ἐκ τῶν βασιλείων· ῥεῖ δὲ καὶ διὰ τῆς Κελαινῶν πόλεως.

NOTAS:
ἐξελαύνει: *o seu suxeito elíptico sería τὸ στράτευμα,* "o exército"
Κελαιναί, -ῶν αἱ: Celenas (*cidade de Frixia*)
Φρυγία, -ας ἡ: Frixia (*rexión central de Asia Menor)*
Κῦρος, -ου ὁ: Ciro

βασίλεια: βασίλειον, -ου τὸ "palacio real"
ὁπότε… βούλοιτο: *verbo en optativo* "cando / cada vez que quería".
Μαίανδρος, -ου ὁ: Meandro (*río de Asia Menor*)

4. CIRO COMUNICA AOS GREGOS O VERDADEIRO FIN DA EXPEDICIÓN. *Anábase* 1.4.11

ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγγας πεντεκαίδεκα ἐπὶ τὸν **Εὐφράτην** ποταμόν· καὶ πόλις αὐτόθι ᾠκεῖτο μεγάλη καὶ εὐδαίμων **Θάψακος** ὄνομα. ἐνταῦθα ἔμεινεν ἡμέρας πέντε. καὶ Κῦρος μεταπεμψάμενος τοὺς στρατηγοὺς τῶν Ἑλλήνων ἔλεγεν ὅτι ἡ ὁδὸς **ἔσοιτο** πρὸς βασιλέα μέγαν εἰς **Βαβυλῶνα**· καὶ κελεύει αὐτοὺς λέγειν ταῦτα τοῖς στρατιώταις καὶ ἀναπείθειν

NOTAS:
Εὐφράτης, -ου ὁ: Éufrates
Θάψακος, -ου ἡ: Tápsaco (*cidade ás beiras do Éufrates*)
Βαβυλών, -ονος ἡ: Babilonia
ἔσοιτο: *futuro de optativo* de εἰμί, *optativo oblicuo, tráduzase por imperfecto*.

5. DESCRICIÓN DA REXIÓN DA MARXE DEREITA DO ÉUFRATES. *Anábase*, 1.5.1

ἐντεῦθεν **ἐξελαύνει** διὰ τῆς **Ἀραβίας** τὸν **Εὐφράτην** ποταμὸν ἐν δεξιᾷ ἔχων σταθμοὺς ἐρήμους πέντε παρασάγγας τριάκοντα καὶ πέντε. ἐν τούτῳ δὲ τῷ τόπῳ ἦν μὲν ἡ γῆ πεδίον ἅπαν ὁμαλὲς ὥσπερ θάλαττα, ἀψινθίου δὲ πλῆρες· εἰ δέ **τι καὶ ἄλλο ἐνῆν** ὕλης ἢ καλάμου, ἅπαντα ἦσαν εὐώδη ὥσπερ ἀρώματα· δένδρον δ᾽ οὐδὲν **ἐνῆν**, θηρία δὲ παντοῖα, πλεῖστοι ὄνοι ἄγριοι, πολλαὶ δὲ στρουθοὶ αἱ μεγάλαι· **ἐνῆσαν** δὲ καὶ ὠτίδες καὶ δορκάδες· ταῦτα δὲ τὰ θηρία οἱ ἱππεῖς ἐνίοτε ἐδίωκον.

NOTAS:
ἐξελαύνει: *o seu suxeito, Ciro e o seu exército, está sobreentendido*.
Ἀραβία, -ας, ἡ: Arabia
Εὐφράτης, -ου ὁ: Éufrates
ἐνῆν: *de* ἔν-ειμι
τι καὶ ἄλλο: "algunha outra cousa" *con xt. partitivos* ὕλης ἢ καλάμου

ἐνῆσαν: *de* ἔν-ειμι

6. MORTE DE CIRO. *Anábase* 1.8.26

Σὺν τούτοις δὲ ὢν **Κῦρος** καθορᾷ βασιλέα καὶ τὸ ἀμφ᾽ ἐκεῖνον στῖφος· καὶ εὐθὺς οὐκ **ἠνέσχετο** , ἀλλ᾽ **εἰπὼν** "τὸν ἄνδρα ὁρῶ" **ἵετο** ἐπ᾽ αὐτὸν καὶ παίει κατὰ τὸ στέρνον καὶ τιτρώσκει διὰ τοῦ θώρακος [...]. **Παίοντα δ᾽ αὐτὸν** ἀκοντίζει τις παλτῷ ὑπὸ τὸν ὀφθαλμὸν βιαίως· [...] Κῦρος δὲ αὐτός τε **ἀπέθανε** καὶ ὀκτὼ οἱ ἄριστοι τῶν περὶ αὐτὸν **ἔκειντο** ἐπ᾽ αὐτῷ.

NOTAS:
Σὺν τούτοις: "nestas circunstancias"
Κῦρος, -ου ὁ: Ciro
ἠνέσχετο: *aor. de* ἀν-έχω, "conterse"
εἰπὼν: *part. aor de* λέγω
ἵετο: *impf.* de ἵημι
παίοντα δ᾽ αὐτὸν: *refírese a* Ciro: "a el cando atacaba"
ἀπέθανε: *de* ἀπο-θνήσκω
ἔκειντο: *impf.* de κεῖμαι

7. DESÁNIMO DOS GREGOS ANTE AS DIFICULTADES ÁS QUE SE ENFRONTAN. *Anábase* 3.1.3

ταῦτ᾽ ἐννοούμενοι καὶ **ἀθύμως ἔχοντες** ὀλίγοι μὲν αὐτῶν εἰς τὴν ἑσπέραν σίτου ἐγεύσαντο, ὀλίγοι δὲ πῦρ ἀνέκαυσαν, ἐπὶ δὲ **τὰ ὅπλα** πολλοὶ οὐκ **ἦλθον** ταύτην τὴν νύκτα, ἀνεπαύοντο δὲ ὅπου ἐτύγχανον ἕκαστος, οὐ δυνάμενοι καθεύδειν ὑπὸ λύπης καὶ πόθου πατρίδων, γονέων, γυναικῶν, παίδων, οὓς οὔποτ᾽ ἐνόμιζον ἔτι **ὄψεσθαι**. οὕτω μὲν δὴ διακείμενοι πάντες ἀνεπαύοντο.

NOTAS:
ἀθύμως ἔχοντες: *ver* ἔχω *con adverbio* (= εἰμί + adxectivo)
τὰ ὅπλα: "campamento"
ἦλθον: *de* ἔρχομαι
ὄψεσθαι: *fut. de* ὁράω

8. DESCRICIÓN DA REXIÓN DO RÍO TELEBOAS. *Anábase* 4.4.3

ἐντεῦθεν δ᾽ ἐπορεύθησαν σταθμοὺς δύο παρασάγγας δέκα μέχρι **ὑπερῆλθον** τὰς πηγὰς τοῦ **Τίγρητος** ποταμοῦ. ἐντεῦθεν δ᾽ **ἐπορεύθησαν** σταθμοὺς τρεῖς παρασάγγας πεντεκαίδεκα ἐπὶ τὸν **Τηλεβόαν** ποταμόν. οὗτος δ᾽ ἦν καλὸς μέν, μέγας δ᾽ οὔ· κῶμαι δὲ πολλαὶ περὶ τὸν ποταμὸν ἦσαν. ὁ δὲ τόπος οὗτος **Ἀρμενία** ἐκαλεῖτο. ὕπαρχος δ᾽ ἦν αὐτῆς **Τιρίβαζος**, ὁ καὶ βασιλεῖ φίλος **γενόμενος**, καὶ ὁπότε **παρείη**, οὐδεὶς ἄλλος βασιλέα ἐπὶ τὸν ἵππον ἀνέβαλλεν.

NOTAS:

ὑπερῆλθον, ἐπορεύθησαν: *os seus suxeitos están sobreentendidos, os soldados, os homes de Xenofonte.*

ὑπερῆλθον: *aor. de* ὑπερ-έρχομαι

Τίγρης, -ητος ὁ: Tigris

Τηλεβόας, -ου ὁ: Teleboas

Ἀρμενία, -ας ἡ: Armenia

Τιρίβαζος, -ου ὁ: Tiribazo (*sátrapa persa*)

γενόμενος: *de* γίγνομαι

παρείη: *pres. de optativo de* παρ-είμι 2, *tradúzase por imperfecto.*

9. DESCRICIÓN DUN POBOADO ARMENIO. *Anábase* 4.5.25

Αἱ δ᾽ οἰκίαι ἦσαν κατάγειοι, τὸ μὲν στόμα ὥσπερ φρέατος, κάτω δ᾽ εὐρεῖαι· αἱ δὲ εἴσοδοι τοῖς μὲν ὑποζυγίοις ὀρυκταί, οἱ δὲ ἄνθρωποι κατέβαινον ἐπὶ κλίμακος. ἐν δὲ ταῖς οἰκίαις ἦσαν αἶγες, οἶες, βόες, ὄρνιθες, καὶ τὰ ἔκγονα τούτων· τὰ δὲ κτήνη πάντα χιλῷ ἔνδον ἐτρέφοντο. Ἦσαν δὲ καὶ πυροὶ καὶ κριθαὶ καὶ ὄσπρια καὶ οἶνος κρίθινος ἐν κρατῆρσιν.

10. O EXÉRCITO GREGO AVISTA POR FIN O MAR E ESTOUPA DE XÚBILO. *Anábase* 4.7.24

καὶ τάχα δὴ **ἀκούουσι βοώντων τῶν στρατιωτῶν** "θάλαττα, θάλαττα" **καὶ παρεγγυώντων**. ἔνθα δὴ ἔθεον πάντες καὶ οἱ ὀπισθοφύλακες, καὶ τὰ ὑποζύγια ἠλαύνετο καὶ οἱ ἵπποι. ἐπεὶ δὲ **ἀφίκοντο** πάντες ἐπὶ τὸ ἄκρον, ἐνταῦθα δὴ περιέβαλλον ἀλλήλους καὶ στρατηγοὺς καὶ λοχαγοὺς δακρύοντες. καὶ ἐξαπίνης ὅτου δὴ παρεγγυήσαντος οἱ στρατιῶται φέρουσι λίθους καὶ ποιοῦσι **κολωνὸν** μέγαν.

NOTAS:
ἀκούουσι: *o seu suxeito sobreentendido é Xenofonte e os seus homes.*
βοώντων τῶν στρατιωτῶν… καὶ παρεγγυώντων: *xent. réxime de* ἀκούουσι
ἀφίκοντο: *de* ἀφ-ικνέομαι
κολωνὸν: "túmulo, morea" (con carácter conmemorativo)

11. OS GREGOS DESPIDEN O GUÍA. *Anábase* 4.7.27

Μετὰ δὲ ταῦτα οἱ Ἕλληνες τὸν ἡγεμόνα ἀποπέμπουσι δῶρα **δόντες ἀπὸ κοινοῦ** ἵππον καὶ φιάλην ἀργυρᾶν καὶ σκευὴν Περσικήν καὶ δαρεικοὺς δέκα· **ᾔτει** δὲ μάλιστα τοὺς δακτυλίους, καὶ **ἔλαβε** πολλοὺς παρὰ τῶν στρατιωτῶν. κώμην δὲ **δείξας** αὐτοῖς **οὗ** σκηνήσουσι καὶ τὴν ὁδὸν ἣν πορεύσονται εἰς **Μάκρωνας**, ἐπεὶ ἑσπέρα **ἐγένετο**, ᾤχετο τῆς νυκτὸς. ἐντεῦθεν δ᾽ἐπορεύθησαν οἱ Ἕλληνες διὰ **Μακρώνων** σταθμοὺς τρεῖς παρασάγγας δέκα.

NOTAS:
δόντες: *part. de aor. activo de* δίδωμι
ἀπὸ κοινοῦ: *lit.* "do común", do fondo común, do que tiñan en común
ᾔτει: *impf. de* αἰτέω
ἔλαβε: de λαμβάνω
δείξας: *part. de aor. de* δείκνυμι
οὗ: *adv.* "onde"
Μάκρωνες, -ων οἱ: macrones (*pobo de Trapezunte, no norte da actual Turquía, ás beiras do Mar Negro*)
ἐγένετο: *de* γίγνομαι

12. EFECTOS DO FRÍO. *Anábase* 7.4.3

ἦν δὲ χιὼν πολλὴ καὶ ψῦχος οὕτως ὥστε τὸ ὕδωρ ὃ ἐφέροντο ἐπὶ δεῖπνον **ἐπήγνυτο** καὶ ὁ οἶνος ὁ ἐν τοῖς ἀγγείοις, καὶ τῶν Ἑλλήνων πολλῶν καὶ ῥῖνες ἀπεκαίοντο καὶ ὦτα. καὶ τότε δῆλον **ἐγένετο οὗ ἕνεκα** οἱ **Θρᾷκες τὰς ἀλωπεκᾶς** ἐπὶ ταῖς κεφαλαῖς φοροῦσι καὶ τοῖς ὠσί, καὶ χιτῶνας οὐ μόνον περὶ **τοῖς στέρνοις** ἀλλὰ καὶ περὶ τοῖς μηροῖς.

NOTAS:
ἐπήγνυτο: *impf. de* πήγνυμι

ἐγένετο: *de* γίγνομαι
οὗ ἕνεκα: "por que causa"
Θρᾴξ, Θρᾴκος, ὁ: Tracio (*habitante de Tracia*)
τὰς ἀλωπεκᾶς: "peles de raposa"
τοῖς στέρνοις: "as costas"

SELECTA DE TEXTOS DE APOLODORO

PAU 2027

13. Fillos de Urano: Cíclopes e Hecatonquiros. *Biblioteca* 1.1.1 - 1.1.2

Οὐρανὸς **πρῶτος** τοῦ παντὸς **ἐδυνάστευσε** κόσμου. **γήμας** δὲ **Γῆν** ἐτέκνωσε **πρώτους** τοὺς ἑκατογχείρους προσαγορευθέντας, **Βριάρεων Γύην Κόττον**, οἳ μεγέθει τε ἀνυπέρβλητοι καὶ δυνάμει ἦσαν, χεῖρας μὲν **ἀνὰ** ἑκατὸν κεφαλὰς δὲ **ἀνὰ** πεντήκοντα ἔχοντες. μετὰ τούτους δὲ αὐτῷ **τεκνοῖ** Γῆ **Κύκλωπας**, **Ἄργην Στερόπην Βρόντην**, ὧν ἕκαστος εἶχεν ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου. ἀλλὰ τούτους μὲν Οὐρανὸς **δήσας** εἰς **Τάρταρον** ἔρριψε.

NOTAS:
ἐδυνάστευσε: *rixe xenitivo.*
γήμας, -ασα, -αν: *part de aor. de* γαμέω.
Γῆ -ῆς ἡ: Gea (*deusa primixenia da terra)*
Βριαρεύς -έως -ό: Briareo.
Γύης -ου ὁ: Gíes.
Κόττος -ου ὁ: Coto.
ἀνὰ (ἑκατόν), **ἀνά (πεντήκοντα):** "cada un"**.** *(a prep. ἀνά con numerais ten valor distributivo).*
τεκνοῖ: 3ª *pª sg. pres. ind.* de τεκνόω
Κύκλωψ, - ωπος, ὁ: Ciclope.
Ἄργης -ου ὁ: Arxes.
Στερόπης -ου ὁ: Estéropes.
Βρόντης -ου ὁ: Brontes.
δήσας: *de* δέω 1.
Τάρταρος -ου ὁ: o Tártaro *(parte máis profunda do inframundo).*

14. A castración de Urano. *Biblioteca* 1.1.4

ἀγανακτοῦσα δὲ **Γῆ** ἐπὶ τῇ ἀπωλείᾳ τῶν εἰς **Τάρταρον ῥιφέντων** παίδων πείθει τοὺς Τιτᾶνας **ἐπιθέσθαι** τῷ πατρί, καὶ δίδωσιν ἀδαμαντίνην ἅρπην **Κρόνῳ**. οἱ δὲ Ὠκεανοῦ χωρὶς **ἐπιτίθενται**, καὶ Κρόνος **ἀποτεμὼν** τὰ αἰδοῖα τοῦ πατρὸς εἰς τὴν θάλασσαν ἔρριψεν. ἐκ δὲ τῶν σταλαγμῶν τοῦ ῥέοντος αἵματος **ἐρινύες ἐγένοντο**, **Ἀληκτὼ Τισιφόνη Μέγαιρα**.

NOTAS:

Γῆ, Γῆς ἡ: Xea (*deusa primixenia da terra*).
Τάρταρος -ου (ὁ): o Tártaro *(parte máis profunda do inframundo*
ῥιφέντων: *part. aor. pasivo de* ῥίπτω.
ἐπι-θέσθαι e **ἐπιτίθενται:** *de* ἐπι-τίθημι (*rixe dativo).*
Κρόνος, ου (ὁ): Cronos.
ἀπο-τεμὼν: de. ἀπο-τέμνω.
ἐρινύες "erinias", *deusas da vinganza.*
ἐγένοντο: de γίγνομαι.
Ἀληκτὼ, -ούς ἡ: Alceto.
Τισιφόνη, -ης ἡ: Tisífone.
Μέγαιρα, -ας ἡ: Megara.

15. Reparto de poderes. *Biblioteca* 1.2.1

καὶ **Κύκλωπες** τότε **Διὶ** μὲν διδόασι βροντὴν καὶ ἀστραπὴν καὶ κεραυνόν, **Πλούτωνι** δὲ κυνέην, **Ποσειδῶνι** δὲ τρίαιναν· **οἱ δὲ τούτοις** ὁπλισθέντες κρατοῦσι **Τιτάνων**, καὶ καθείρξαντες αὐτοὺς ἐν τῳ **Ταρτάρῳ** τοὺς ἑκατόγχειρας **κατέστησαν φύλακας**. αὐτοὶ δὲ διακληροῦνται περὶ τῆς ἀρχῆς, καὶ λαγχάνει Ζεὺς μὲν τὴν ἐν οὐρανῷ δυναστείαν, Ποσειδῶν δὲ τὴν ἐν θαλάσσῃ, **Πλούτων** δὲ τὴν ἐν **Ἅιδου**.

NOTAS:
Κύκλωψ, -ωπος ὁ: Ciclope**.**
Ζεύς, Διός ὁ: Zeus.
Πλουτών, -ώνος ὁ: Plutón.
Ποσειδῶν, -ῶνος ὁ: Poseidón.
Τιτάν, -ᾶνος ὁ: Titán**. οἱ δὲ:** *valor demostrativo.*
τούτοις: *n. pl. refírese a: βροντὴν, ἀστραπὴν, κεραυνόν, κυνέην, τρίαιναν*
Τᾶρταρος, -ου ὁ: Tártaro. *Parte maís profunda do inframundo.*
κατ-έστησαν: *3ª pª pl. aor. act. de* καθίστημι.
φύλακας: *ten función predicativa*.
ἐν Ἅιδου: na mansión do Hades, no Hades **(***sobreenténdase* **"***ἐν Ἅιδου (δόμῳ)*").

16. Rapto de Perséfone. *Biblioteca* 1.5.1

Πλούτων δὲ **Περσεφόνης ἐρασθεὶς, Διὸς** συνεργοῦντος, ἥρπασεν αὐτὴν κρύφα. Δημήτηρ δὲ μετὰ λαμπάδων νυκτός τε καὶ ἡμέρας κατὰ πᾶσαν τὴν γῆν ζητοῦσα ἐπορεύετο· **μαθοῦσα** δὲ **παρ᾽ Ἑρμιονέων** ὅτι Πλούτων αὐτὴν

ἥρπασεν, ὀργιζομένη θεοῖς **κατέλιπεν** οὐρανόν, **εἰκασθεῖσα** δὲ γυναικὶ ἦκεν εἰς **Ἐλευσῖνα**.

NOTAS:
Πλουτών, -ώνος ὁ: Plutón.
Περσεφόνη, -ης ἡ: Perséfone.
ἐρασθεὶς: de ἐράω.
Ζεύς, Διός ὁ: Zeus.
μαθοῦσα: de μανθάνω.
Ἑρμιονεύς, -έως: hermioneo *ou* hermionense, *xentilicio da cidade de Ἑρμιόνη, no Peloponeso, na que había un santuario adicado á deusa Deméter.*
κατέλιπεν: de καταλείπω.
εἰκασθεῖσα: *de* εἰκάζω, **"**tras adoptar a imaxe de, coa forma de (+ dat)".
Ἐλευσίς, Ἐλευσίνος: Eleusis (*cidade da Ática na que se rende culto a Deméter e a Perséfone).*

17. Prometeo. *Biblioteca* 1.7.1

Προμηθεὺς δὲ ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους **πλάσας ἔδωκεν** αὐτοῖς καὶ πῦρ, λάθρᾳ **Διὸς** ἐν θήκῃ κρύψας. ὡς δὲ **ᾔσθετο** Ζεύς, **ἐπέταξεν Ἡφαίστῳ** τῷ **Καυκάσῳ** ὄρει τὸ σῶμα αὐτοῦ προσηλῶσαι· τοῦτο δὲ **Σκυθικὸν** ὄρος ἐστίν. ἐν δὴ τούτῳ προσηλωθεὶς Προμηθεὺς πολλῶν ἐτῶν ἀριθμὸν **ἐδέδετο**· καθ᾽ ἑκάστην δὲ ἡμέραν ἀετὸς **ἐφιπτάμενος** αὐτῷ ἐνέμετο τὸ ἧπαρ ὅ ηὐξάνετο διὰ νυκτός.

NOTAS:
Προμηθεὺς, έως: Prometeo**.**
πλάσας: de πλάττω.
ἔδωκεν: de δίδωμι.
Ζεύς, Διός ὁ: Zeus.
ᾔσθετο: de αἰσθάνομαι.
ἐπ-έταξεν: de ἐπι-τάττω.
Ἥφαιστος, -ου ὁ: Hefesto**.**
Καύκασος, -ου ὁ: Caúcaso (*cordilleira entre o mar Caspio o o mar Negro).*

Σκυθικός -ή -όν: escítico (a*dxectivo referido aos escitas, pobo nómada de orixe irania que habitaba na zona do Caúcaso e no N. do mar Negro).*
προσηλωθεὶς: *part. aor. pas.* de προσ-ηλόω

ἐδέδετο: *plpf.* δέω 2. "estivo encadeado, permaneceu encadeado".
ἐφιπτάμενος: do vb. ἐφίπταμαι (*forma tardía de ἐπι-πέτομαι*).

18. Morte dos fillos de Medea. *Biblioteca* 1.9.28

τοὺς δὲ παῖδας οὓς εἶχεν ἐξ Ἰάσονος, **Μέρμερον** καὶ **Φέρητα**, **ἀπέκτεινε**, καὶ λαβοῦσα παρὰ **Ἡλίου** ἅρμα πτηνῶν δρακόντων ἐπὶ τούτου φεύγουσα **ἦλθεν** εἰς Ἀθήνας. λέγεται δὲ καὶ **ὅτι** φεύγουσα τοὺς παῖδας ἔτι νηπίους ὄντας **κατέλιπεν** ἐπὶ τὸν βωμὸν τῆς **Ἥρας**· **Κορίνθιοι** δὲ αὐτοὺς **ἀναστήσαντες** κατετραυμάτισαν. **Μήδεια** δὲ ἦκεν εἰς Ἀθήνας, κἀκεῖ **γαμηθεῖσα Αἰγεῖ** παῖδα γεννᾷ **Μῆδον**.

NOTAS:
Ἰάσων, -ονος ὁ: Xasón (*xefe dos Argonautas).*
Μέρμερος, -ου ὁ: Mérmero.
Φέρης, Φέρητος ὁ: Feres.
ἀπέκτεινε: *aoristo de ἀποκτείνω ; o suxeito é Medea.*
Ἥλιος, Ἡλίου ὁ: Helios (*deus do sol).*
ἦλθεν: de ἔρχομαι.
κατέλιπεν: de καταλείπω.
Ἥρα, -ας ἡ: Hera.
Κορίνθιος -α -ον: Corintio (*xentilicio da cidade de Corinto);*
Μήδεια, -ας: Medea.
ἀναστήσαντες: *part. aor. de* ἀν-ίστημι (*aquí co sentido de* "expulsar, botar fóra").
γαμηθεῖσα: de γαμέω.
Αἰγεύς, -έως ὁ: Exeo *(rei da Ática).*
Μῆδος, -ου ὁ: Medo.

19. A Quimera, tres feras nunha. *Biblioteca* 2.3.1

Ἰοβάτης δὲ **ἀναγνοὺς ἐπέταξεν** αὐτῷ **Χίμαιραν** ἀποκτείνειν, νομίζων αὐτὸν ὑπὸ τοῦ θηρίου **διαφθαρήσεσθαι**: ἦν γὰρ οὐ μόνον ἐνὶ ἀλλὰ πολλοῖς οὐκ εὐάλωτον, εἶχε δὲ **προτομὴν** μὲν λέοντος, οὐρὰν δὲ δράκοντος, τρίτην δὲ κεφαλὴν μέσην **αἰγός**, δι᾽ ἧς πῦρ ἔβαλλεν. καὶ τὴν χώραν διέφθειρε, καὶ τὰ βοσκήματα ἐλυμαίνετο· μία γὰρ φύσις τριῶν θηρίων εἶχε δύναμιν.

NOTAS:

Ἰοβάτης ου ὁ: Iobates *(rei de Licia)*
ἀνα-γνοὺς: "tras lelas" (as cartas) ; *part. aor. act.; nom. sg. m. de* ἀνα-γιγνώσκω *(refírese a unhas cartas enviadas polo seu xenro Preto, rei de Tirinto, nas que lle mandaba matar a Belerofonte).*
ἐπ-έταξεν: *de* ἐπι-τάττω.
Χίμαιρα, -ας ἡ: Quimera
δια-φθαρήσεσθαι: *inf. fut. con significado pasivo, de* δια-φθείρω.
προτομή, -ῆς: parte dianteira, parte de adiante.
αἴξ, αἰγός ἡ: cabra.

20. Heracles: nacemento. *Biblioteca* 2.4.8

Ἀλκμήνη δὲ δύο ἐγέννησε παῖδας, **Διὶ** μὲν **Ἡρακλέα**, μιᾷ νυκτὶ πρεσβύτερον, **Ἀμφιτρύωνι** δὲ **Ἰφικλέα**. τοῦ δὲ παιδὸς ὄντος **ὀκταμηνιαίου** δύο δράκοντας ὑπερμεγέθεις **Ἥρα** ἐπὶ τὴν εὐνὴν ἔπεμψε, διαφθείρειν τὸ βρέφος θέλουσα. ἐπιβωμένης δὲ Ἀλκμήνης Ἀμφιτρύωνα, Ἡρακλῆς ἄγχων ἑκατέραις ταῖς χερσὶν αὐτοὺς διέφθειρε.

NOTAS:
Ἀλκμήνη, -ης ἡ: Alcmena.
Ζεύς, Διός ὁ: Zeus.
Ἡρακλῆς, -κλέους: Heracles.
Ἀμφιτρύων, -ωνος ὁ: Anfitrión.
Ἰφικλῆς, -έους ὁ: Ificles
ὀκταμηνιαῖος -α- ον = ὀκτάμηνος -ον.
Ἥρα, -ας: Hera**.**

21. O enigma da Esfinxe durante o reinado de Creonte. *Biblioteca* 3.5.8

Λάιον μὲν οὖν θάπτει βασιλεὺς **Πλαταιέων Δαμασίστρατος**, τὴν δὲ βασιλείαν **Κρέων** ὁ **Μενοικέως** παραλαμβάνει. τούτου δὲ βασιλεύοντος οὐ μικρὰ συμφορὰ **κατέσχε** Θήβας. ἔπεμψε γὰρ Ἥρα Σφίγγα, ἣ μητρὸς μὲν **Ἐχίδνης** ἦν πατρὸς δὲ **Τυφῶνος**, εἶχε δὲ πρόσωπον μὲν γυναικός, στῆθος δὲ καὶ βάσιν καὶ οὐρὰν λέοντος καὶ πτέρυγας ὄρνιθος. **μαθοῦσα** δὲ αἴνιγμα παρὰ μουσῶν ἐπὶ τὸ **Φίκιον** ὄρος ἐκαθέζετο, καὶ τοῦτο **προύτεινε** Θηβαίοις. ἦν δὲ τὸ αἴνιγμα· τί ἐστιν ὃ μίαν ἔχον φωνὴν τετράπουν καὶ δίπουν καὶ τρίπουν γίγνεται·

NOTAS:
Λάιος, -ου ὁ: Laio.
Πλαταιαί, ῶν αἱ: Platea *(cidade de Beocia)*.
Δαμασίστρατος, -ου ὁ: Damasístrato.
Κρέων, -οντος ὁ: Creonte.
Μενοικεύς, -έως ὁ: Meneceo (*sobreenténdese "ὁ υἱός τοῦ Μενοικέως")*.
κατέσχε: *aor. de* κατ-έχω.
Ἔχιδνα, -ης ἡ: Equidna (*ninfa monstruosa que deu a luz terribles criaturas; sobreenténdese "ἡ θυγατήρ").*
Τυφῶν, -ῶνος ὁ: Tifón (*monstro terrorífico, fillo de Xea)*.
μαθοῦσα: de μανθάνω.
Φίκιος, -ου ὁ: Ficio (*nome dun monte cercano a Tebas).*
προύτεινε *impf. de* προ-τείνω

22. Antígona enterra ao seu irmán. *Biblioteca* 3.7.1

Κρέων δὲ τὴν **Θηβαίων** βασιλείαν **παραλαβὼν** τοὺς τῶν **Ἀργείων** νεκροὺς ἔρριψεν **ἀτάφους**, καὶ **κηρύξας** μηδένα θάπτειν φύλακας **κατέστησεν**. Ἀντιγόνη δέ, μία τῶν **Οἰδίποδος** θυγατέρων, κρύφα τὸ **Πολυνείκους** σῶμα κλέψασα ἔθαψε, καὶ φωραθεῖσα ὑπὸ Κρέοντος αὐτοῦ τῷ τάφῳ **ζῶσα ἐνεκρύφθη**.

NOTAS:
Κρέων, Κρέοντος ὁ: Creonte.
Θηβαίος -α -ον: tebano, habitante de Tebas.
παραλαβὼν: de παρα-λαμβάνω.
Ἀργείος -α -ον: arxivo (*xentilicio da cidade de Argos, cidade que atacou a Tebas baixo o mando de Polinices).*
ἀτάφους: *función predicativa*.
κηρύξας: de κηρύττω. *Deste participio depende a oración de infinitivo* μηδένα θάπτειν
κατέστησεν: *3ª pª sg. aor. act. de* καθ-ίστημι.
Οἰδίπους, Οἰδίποδος ὁ: Edipo.
Πολυνείκης, -ους ὁ: Polinices (*irmán de Antígona).*
ζῶσα: *part. pres. nom. sg. f.* de ζάω.
ἐνεκρύφθη: de ἐγ-κρύπτω, *aquí co sentido de "encerrar".*

23. Asasinato de Agamenón. *Epítome* 6.23-24

Ἀγαμέμνων δὲ καταντήσας εἰς **Μυκήνας** μετὰ **Κασάνδρας** διαφθείρεται ὑπὸ **Αἰγίσθου** καὶ **Κλυταιμνήστρας· δίδωσι** γὰρ αὐτῷ χιτῶνα ἄχειρα καὶ **ἀτράχηλον**, καὶ τοῦτον ἐνδυόμενος φονεύεται, καὶ βασιλεύει Μυκηνῶν Αἴγισθος· κτείνουσι δὲ καὶ Κασάνδραν. **Ἠλέκτρα** δὲ μία τῶν Ἀγαμέμνονος θυγατέρων **Ὀρέστην** τὸν ἀδελφὸν ἐκκλέπτει καὶ δίδωσι **Στροφίῳ Φωκεῖ τρέφειν**, ὁ δὲ αὐτὸν ἐκτρέφει μετὰ **Πυλάδου** παιδὸς ἰδίου.

NOTAS:

Ἀγαμέμνων, -ονος ὁ: Agamenón**.**
Μυκῆναι, -ῶν αἱ: Micenas.
Κασάνδρα, -ας ἡ: Casandra *(adiviña troiana filla de Príamo e Hécuba).*
Αἴγισθος, -ου ὁ: Existo (*amante de Clitemnestra).*
Κλυταιμνήστρα, -ας ἡ: Clitemnestra.
δίδωσι: *3ª sg pres. ind*. δίδωμι
ἀτράχηλος, -ον: que non ten tráchelos.
Ἠλέκτρα, -ας ἡ: Electra.
Ὀρέστης, -ου ὁ: Orestes.
Στρόφιος, -ου ὁ: Estrofio (*rei de Focea).*
Φωκεύς, -έως ὁ: focio (*xentilicio da cidade de Focea, situada en Asia Menor).*
τρέφειν: *inf. con valor final.*
Πυλάδης, -ου ὁ: Pílades (*nome do fillo de Estrofio)*

24. Odiseo e a cova de Polifemo. *Epítome* 7.4

καταλιπὼν δὲ τὰς λοιπὰς ναῦς ἐν τῇ πλησίον νήσῳ, μίαν ἔχων τῇ **Κυκλώπων** γῇ **προσπελάζει**, μετὰ δώδεκα ἑταίρων **ἀποβὰς** τῆς νεώς. ἔστι δὲ τῆς θαλάσσης πλησίον ἄντρον, εἰς ὃ ἔρχεται ἔχων ἀσκὸν οἴνου. ἦν δὲ **Πολυφήμου** τὸ ἄντρον, ὃς ἦν **Ποσειδῶνος** καὶ **Θοώσης** νύμφης, ἀνὴρ ὑπερμεγέθης ἄγριος ἀνδροφάγος, ἔχων ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου.

NOTAS:
καταλιπὼν: de καταλείπω.
Κύκλωψ, Κυκλώπος ὁ: Ciclope.
προσπελάζει: *o suxeito é Odiseo.*

ἀποβὰς: *part. aor. act. nom. sg. m. de* ἀπο-βαίνω.
Πολύφημος, -ου ὁ: Polifemo.
Ποσειδῶν, ῶνος: Poeidón (*sobreenténdese ὁ υἱός*).
Θοώση, -ης ἡ: Toosa (*nome dunha ninfa mariña).*